UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Paulo. 297.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

liorem mentẽ redite. Id enim licet, quantiſper in vita ſumus. Deus quippe nõ vult mortem peccatoris, ſed magis vt à via ſua mala conuertatur, ac celebrẽ vitam viuat. Si enim faciem eius in cõfeſſione præoccupauerimus, hoc eſt, ſi ante præſtitutũ diem per res ipſas ei ſatisfecerimus, in iudicio miſericordiam conſequemur. Creatoris enim, vti iam dixi, ſententiam quouis argumento ac demonſtratione firmiorem iudicare oportet.

λόγοις, ἀλλ᾽ ἀνενέγκατε. ἔξεστι γὰρ ἕως ἐνθάδε ἐσμέν. οὐ γὰρ θέλει ὁ θεὸς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτὸν τὴν ἀοίδιμον ζωήν. εἰ γὰρ προφθάσοιμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, τουτέστιν, εἰ πρὸ τῆς κυρίας διὰ πραγμάτων αὐτὰ ἀπολογησόμεθα, ἐν τῇ κρίσει ἐλεηθησόμεθα. τὴν γὰρ τοῦ δημιουργοῦ, ὡς ἔφην, ἀπόφασιν, πάσης ἀποδείξεως ἰσχυροτέραν χρὴ νομίζειν.

*Agathoni Preſbytero.* 296.

Deus Abrahami ſemen cæleſtibus aſtris ac maris arenæ comparaturum ſe pollicitus eſt: illud ſignificans, quòd quidam ex ipſis elucebãt (quales ſcilicet fuerunt prophetæ & iuſti viri, Apoſtoli item, & qui eorum opera fidem amplexi ſunt, ac probis actionibus enituerunt: ad quos Saluator dixit, Luceat lux veſtra coram hominibus: & Apoſtolus, Inter quos lucetis tanquam luminaria in mundo) quidam autem abiecti, ac terrenarum rerũ ſtudiis addicti eſſe deprehenduntur, inſtabileſque atque ad omnem ventum agitati: qui etiam proinde tanquam marina & infructuoſa arena reputati, contemnentur, ac pro nihilo habebuntur.

Ἀγάθωνι πρεσβυτέρῳ. σϟϛ.

Οὐρανίοις ἄστροις καὶ ψάμμῳ θαλαττίᾳ παρεικάσειν τὸ τοῦ Ἀβραὰμ ἐπηγγείλατο σπέρμα ὁ θεός, μηνύων ὅτι τινὲς μὲν ἐξ αὐτῶν διαλάμψουσιν, οἷοι ἦσαν οἱ προφῆται καὶ οἱ δίκαιοι, ἀπόστολοί τε καὶ οἱ ἐξ αὐτῶν πιστεύσαντες, καὶ ἔργοις διαπρέψαντες. οἷς ὁ σωτὴρ μὲν ἔφη, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. ὁ δὲ ἀπόστολος, Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ. τινὲς δὲ χαμαιπετεῖς καὶ χαμαίζηλοι ἁλώσονται, ἀβέβαιοί τε καὶ ὑπὸ παντὸς ἀνέμου περιφερόμενοι, οἵτινες καὶ ἐξευτελισθήσονται, ὡς ψάμμος θαλαττία τε καὶ ἄκαρπος λογισθέντες.

*Paulo.* 297.

Si, tanquam in gratiam redituri, qui nuper amici erant, inter ſe diſſident, leuius malum eſt: ſi autem tanquam in implacabili odio ac ſimultate permanſuri, grauius. Quoquo verò animo ſint, tu da operam, vt quàm ocyſſimè in gratiam eos reducas: ne alioqui temporis mora difficilius hoc negotium reddat.

Παύλῳ. σϟζ.

Εἰ μὲν ὡς διαλλαγησόμενοι οἱ πρώην φίλοι διαφέρονται, ἧττόν ἐστι κακόν, εἰ δὲ ὡς ἄσπονδοι διαμενοῦντες, μεῖζον. πλὴν ὅπως ἂν διακέοιντο, σπούδασον εἰς εἰρήνην θᾶττον αὐτοὺς συναλλάξαι, μή ποτε καὶ χρόνος δυσχερέστερον τοῦτο κατασκευάσῃ.

*Eidem.* 298.

Qui paupertate ad negotium aliis libẽter exhibendum abutitur, is non modò indignus eſt qui miſericordiam cõſequatur, ſed etiam odium promeretur. Nam pro eo

Τῷ αὐτῷ. σϟη.

Ὁ τῇ πενίᾳ εἰς φιλοπραγμοσύνην καταχρώμενος, οὐ μόνον ἐλέους τυχεῖν οὐκ ἂν εἴη δίκαιος, ἀλλὰ καὶ μίσους ἄξιός ἐστι. δέον γὰρ τὰς ἡσυχίας ἄγοντα

παρακαλεῖν,